πᾶν δὲ ἔντιμον εἶδέν μου ὁ ὀφθαλμός·<br>
11 βάθη δὲ ποταμῶν ἀνεκάλυψεν,<br>
ἔδειξεν δὲ ἑαυτοῦ δύναμιν εἰς φῶς.<br>
12 ἡ δὲ σοφία πόθεν εὑρέθη;<br>
ποῖος δὲ τόπος ἐστὶν τῆς ἐπιστήμης;<br>
13 οὐκ οἶδεν βροτὸς ὁδὸν αὐτῆς,<br>
οὐδὲ μὴ εὑρεθῇ ἐν ἀνθρώποις.<br>
14 ※ἄβυσσος εἶπεν Οὐκ ἔστιν ἐν ἐμοί·<br>
※καὶ θάλασσα εἶπεν Οὐκ ἔστιν μετ᾽ ἐμοῦ.<br>
15 ※οὐ δώσει συγκλεισμὸν ἀντ᾽ αὐτῆς,<br>
※καὶ οὐ σταθήσεται ἀργύριον ἀντάλλαγμα αὐτῆς·<br>
16 ※καὶ οὐ συμβασταχθήσεται χρυσίῳ Ωφιρ,<br>
※ἐν ὄνυχι τιμίῳ καὶ σαπφείρῳ·<br>
17 ※οὐκ ἰσωθήσεται αὐτῇ χρυσίον καὶ ὕαλος<br>
※καὶ τὸ ἄλλαγμα αὐτῆς σκεύη χρυσᾶ·<br>
18 ※μετέωρα καὶ γαβις οὐ μνησθήσεται,<br>
※καὶ ἕλκυσον σοφίαν ὑπὲρ τὰ ἐσώτατα·<br>
19 ※οὐκ ἰσωθήσεται αὐτῇ τοπάζιον Αἰθιοπίας,<br>
※χρυσίῳ καθαρῷ οὐ συμβασταχθήσεται.↙<br>
20 ἡ δὲ σοφία πόθεν εὑρέθη;<br>
ποῖος δὲ τόπος ἐστὶν τῆς συνέσεως;<br>
21 λέληθεν πάντα ἄνθρωπον<br>
※καὶ ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ ἐκρύβη·<br>
22 ※ἡ ἀπώλεια καὶ ὁ θάνατος εἶπαν↙<br>
Ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέος.<br>
23 ὁ θεὸς εὖ συνέστησεν αὐτῆς τὴν ὁδόν,<br>
αὐτὸς δὲ οἶδεν τὸν τόπον αὐτῆς·<br>
24 αὐτὸς γὰρ τὴν ὑπ᾽ οὐρανὸν πᾶσαν ἐφορᾷ<br>
εἰδὼς τὰ ἐν τῇ γῇ πάντα, ἃ ἐποίησεν,<br>
25 ἀνέμων σταθμὸν ὕδατός τε μέτρα·<br>
26 ὅτε ἐποίησεν οὕτως, ὑετὸν ἠρίθμησεν<br>
※καὶ ὁδὸν ἐν τινάγματι φωνάς·

$10^{2}$ εντιμον BS†] τιμιον rel. | μου] αυτου ASc†: = 𝔐 et Lap || $11^{1}$ βαθη δε] και β. A†: cf. 3 12 || $12^{2}$ της > A || $13^{2}$ μη] μην BS* || $14^{1.2}$ εστιν bis] ενεστιν B† | $14^{2}$ θαλ.] pr. η B || $15^{2}$ σταθ.] + αυτη B*† | αυτης] pr. αντ S*† || $16^{1}$ ωφ(ε)ιρ] σωφ. BSpl.: cf. 22 24 || $17^{1}$] pr. και A† || $18^{2}$ και > S*† || $20^{1}$ δε] δη A† | $20^{2}$ τοπος εστιν] tr. A† | της > A† || $21^{2}$ εκρυβη] pr. ουκ A† || $22^{1}$ ειπεν AC† | $22^{2}$ δε > AScpl.: δε abhorret a textu amplificato, quem nunc legimus, quadrat ad textum principalem || $23^{1}$ θεος BS*†] κυριος rel. (etiam *O*): cf. 29 4 | $23^{2}$ δε] γαρ A†: ex 24 || $24^{2}$ α(>B†) εποιησεν ad 25 trahit 𝔐 || 25] pr. εποιησεν δε AC†, sed etiam hi habent α εποιησεν praec. | υδατος τε] τε > BS*†, και υδατων A† || $26^{1}$ οτε εποιησεν ad 25 trahunt BS | υετον Gra.] ιδων mss.